τοῦ οὐρανοῦ, καὶ ὑπερύμνητος καὶ ὑπερυψούμενος
εἰς τοὺς αἰῶνας

## Ὕμνος τῶν ἁγίων τριῶν παίδων. ᾠδὴ η΄.

Εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν
κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν
εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ἄγγελοι κυρί-
ου, οὐρανοὶ κυρίου τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερ-
υψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε
ὕδατα πάντα τὰ ὑπεράνω τοῦ οὐρανοῦ· πᾶσαι
αἱ δυνάμεις κυρίου τὸν κύριον, ὑμνεῖτε καὶ
ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε
ἥλιος καὶ σελήνη, ἄστρα τοῦ οὐρανοῦ τὸν κύριον.
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
Εὐλογεῖτε πᾶς ὄμβρος καὶ δρόσος, πάντα
τὰ πνεύματα τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦ-
τε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πῦρ
καὶ καῦμα, ψῦχος καὶ καύσων τὸν κύριον, ὑμνεῖ-
τε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλο-
γεῖτε δρόσοι, καὶ νιφετοί, πάγοι, καὶ ψῦχος τὸν
κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς
αἰῶνας. Εὐλογεῖτε πάχναι καὶ χιόνες, ἀ-
στραπαί, καὶ νεφέλαι τὸν κύριον, ὑμνεῖτε καὶ

ὑπερυ